λην, ἢ ὡς εἰς τὸ οὗ ἕνεκα, ἢ ὡς εἰς τὸ κινῆσαν, A μάλιστα σκεπτέον. περὶ μὲν οὖν τοῦ κατὰ συμβεβηκὸς ὄντος, ἀφείσθω· διώρισται γὰρ ἱκανῶς. τὸ δὲ ὡς ἀληθὲς ὂν ὡς ψεῦδος, ἐπειδὴ παρὰ σύνθεσίν ἐστι καὶ διαίρεσιν· τὸ δὲ σύνολον περὶ μερισμὸν ἀντιφάσεως. τὸ μὲν γὰρ ἀληθές, τὴν κατάφασιν ἐπὶ τῶν συγκειμένων ἔχει, τὴν δὲ ἀπόφασιν, ἐπὶ τῶν διῃρημένων· τὸ δὲ ψεῦδος, τούτου τοῦ μερισμοῦ τὴν ἀντίφασιν. πῶς δὲ B τὸ ἅμα, ἢ τὸ χωρὶς νοεῖν συμβαίνει, ἄλλος λόγος. λέγω δὲ τὸ ἅμα καὶ τὸ χωρίς, ὥστε μὴ τὸ ἐφεξῆς, ἀλλ' ἕν τι γίγνεσθαι· οὐ γάρ ἐστι τὸ ψεῦδος καὶ τὸ ἀληθὲς ἐν τοῖς πράγμασιν· οἷον τὸ μὲν ἀγαθόν, ἀληθές· τὸ δὲ κακόν, ψεῦδος· ἀλλ' ἐν διανοίᾳ. περὶ δὲ τὰ ἁπλᾶ καὶ τὰ τί ἐστιν, οὐδ' ἐν τῇ διανοίᾳ. ὅσα μὲν οὖν δεῖ θεωρῆσαι περὶ τὸ οὕτως ὂν καὶ μὴ ὄν, ὕστερον ἐπισκεπτέον. ἐπεὶ δὲ ἡ συμπλοκή ἐστιν καὶ ἡ διαίρεσις ἐν C διανοίᾳ, ἀλλ' οὐκ ἐν τοῖς πράγμασι, τὸ δ' οὕτως ὄν, ἕτερον ὂν τῶν κυρίων (ἢ γὰρ τὸ τί ἐστιν, ἢ ὅτι ποιόν, ἢ ὅτι ποσόν, ἢ εἴ τι ἄλλο συνάπτει ἢ ἀφαιρεῖ ἡ διάνοια) τὸ μὲν ὡς συμβεβηκός, καὶ τὸ ὡς ἀληθὲς ὄν, ἀφετέον. τὸ γὰρ αἴτιον, τοῦ μὲν ἀόριστον, τοῦ δὲ τῆς διανοίας τι πάθος, καὶ ἀμφότερα περὶ τὸ λοιπὸν γένος τοῦ ὄντος, καὶ οὐκ ἔξω δηλοῦσιν οὖσάν τινα φύσιν τοῦ ὄντος. D διὸ ταῦτα μὲν ἀφείσθω· σκεπτέον δὲ τοῦ ὄντος αὐτοῦ τὰ αἴτια καὶ τὰς ἀρχὰς ᾗ ὄν. φανερὸν δ' ἐν οἷς διωρισάμεθα περὶ τοῦ ποσαχῶς λέγεται ἕκαστον, ὅτι πολλαχῶς λέγεται τὸ ὄν.

A reductio est, vtrum vt ad materiam, an vt ad cuius gratia, an vt ad mouens, maximè considerandum est. De eo itaque, quod secundum accidens est, dimittatur. Determinatum enim sufficienter est. Quod autem tanquam verum ens, & non ens, vt falsum, quoniam circa compositionem, & diuisionem est, & omnino circa partitionem contradictionis. Verum etenim affirmationem in composito habet, B negationem verò in diuiso, falsum verò huius partitionis contradictionem. Quo autem modo quod simul, aut quod separatim est, intelligere accidit, alia ratio est. Dico autem quod simul, & quod separatim, vt non consequenter, sed vt vnum quid fiat. Non enim est falsum, & verum in rebus, (vt quod bonum verum: quod verò malum, falsum) sed in mente: quæ verò circa simplicia, & circa ea, quæ quid sunt, non quidem sunt in mente. C Quæcunque igitur speculari oportet circa id, quod ita ens & non ens est, posterius perscrutandum est. Cùm autem compositio, & diuisio in mente, non in rebus fit, quod profecto ita est, diuersum à propriè dictis ens est. Aut enim quod quid est, aut quod quale, aut quod quantum, aut si quid aliud, copulat, aut diuidit mens. Quod autem tanquam accidens, D & vt verum ens omittendum est: causa enim illius quidem determinata: huius verò, mentis aliqua passio: & ambo circa reliquum entis genus, & non extra ostendunt esse aliquam entis naturam. Propter quod, hæc quidem prætereantur. Considerandæ autem sunt ipsius entis causæ, & principia, prout ens est. Manifestum autem est in iis, quæ determinauimus de eo, quoties vnumquodque dicitur, quòd ens multipliciter dicitur.

## ΑΡΙΣΤΟΤΕΛΟΥΣ τῶν μετὰ τὰ φυσικὰ τὸ Ζ.

E

### Κεφάλαιον α.

Τὸ ὂν λέγεται πολλαχῶς, καθάπερ διειλόμεθα πρότερον ἐν τοῖς περὶ τοῦ πολλαχῶς. σημαίνει γὰρ τὸ μὲν τί ἐστι, καὶ τόδε τι· τὸ δέ, ὅτι ποιόν, ἢ ποσόν, ἢ τῶν ἄλλων ἕκαστον τῶν οὕτω κατηγορουμένων. τοσαυταχῶς δὲ λεγομένου τοῦ F ὄντος, φανερόν, ὅτι τούτων πρῶτον ὄν, τὸ τί ἐστιν, ὅπερ σημαίνει τὴν οὐσίαν. ὅταν μὲν γὰρ εἴπωμεν ποιόν τι τόδε,

## ARISTOTELIS METAPHYSICORVM LIBER VII.

### CAPVT I.

Ens multipliciter dicitur, quemadmodum in iis, quæ de quoties priùs diuisimus. Significat enim aliud quidem quid est, & quod quid: aliud verò, quod quale, aut F quantum, aut singula aliorum, quæ ita prædicantur. Cùm autem ens toties dicatur, patet primum horum ens esse ipsum quid est, quódque substantiam significat. Cùm enim si dicimus, quale quippiã hoc,